Ἔρως, τὰ θνητῶν δ᾽ ἐστί σοι γέλως ἄχη.
πέπονθας οἷ᾽ ἔρεξας· ἐσθλὸν ἡ δίκη.

## LI

αὐτός σοι Φοίβοιο πάις λαθικηδέα τέχνης
ἰδμοσύνην, πανάκῃ χεῖρα λιπηνάμενος,
Πρηξαγόρη, στέρνοις ἐνεμάξατο. τοιγὰρ ἀνῖαι
ὄρνυνται δολιχῶν ὁππόσαι ἐκ πυρετῶν
καὶ ὁπόσαι τμηθέντος ἐπὶ χροός, ἄρκια θεῖναι
φάρμακα πρηείης οἶσθα παρ᾽ Ἠπιόνης.
θνητοῖσιν δ᾽ εἰ τοῖοι ἐπήρκεον ἰητῆρες,
οὐκ ἂν ἐπορθμεύθη νεκροβαρὴς ἄκατος.

# AGIS

## I

καὶ στάλικας καὶ πτηνὰ λαγωβόλα σοὶ τάδε Μείδων,
Φοῖβε, σὺν ἰξευταῖς ἐκρέμασεν καλάμοις,
ἔργων ἐξ ὀλίγων ὀλίγην δόσιν· ἢν δέ τι μεῖζον
δωρήσῃ, τίσει τῶνδε πολυπλάσια.

# AMYNTAS

## I

— φράζε, γύναι, τίς ἐοῦσα καὶ ἐκ τίνος, εἰπέ τε πάτρην
καὶ ποίας ἔθανες νούσου ὕπ᾽ ἀργαλέης.